ἐν σοὶ δ᾽ ἐσμὲν καὶ ζῆν καὶ μή·
σὴν γὰρ φιλίαν σεβόμεσθα.

ΑΛ. Ἄδμηθ᾽, ὁρᾷς γὰρ τἀμὰ πράγμαθ᾽ ὡς ἔχει,
λέξαι θέλω σοι πρὶν θανεῖν ἃ βούλομαι.
ἐγώ σε πρεσβεύουσα κἀντὶ τῆς ἐμῆς
ψυχῆς καταστήσασα φῶς τόδ᾽ εἰσορᾶν,
θνῄσκω παρόν μοι μὴ θανεῖν ὑπὲρ σέθεν,
ἀλλ᾽ ἄνδρα τε σχεῖν Θεσσαλῶν ὃν ἤθελον,
καὶ δῶμα ναίειν ὄλβιον τυραννίδι.
οὐκ ἠθέλησα ζῆν ἀποσπασθεῖσά σου
σὺν παισὶν ὀρφανοῖσιν, οὐδ᾽ ἐφεισάμην,
ἥβης ἔχουσα δῶρ᾽, ἐν οἷς ἐτερπόμην.
καίτοι σ᾽ ὁ φύσας χἡ τεκοῦσα προὔδοσαν,
καλῶς μὲν αὐτοῖς κατθανεῖν ἧκον βίου,
καλῶς δὲ σῶσαι παῖδα κεὐκλεῶς θανεῖν.
μόνος γὰρ αὐτοῖς ἦσθα, κοὔτις ἐλπὶς ἦν
σοῦ κατθανόντος ἄλλα φιτύσειν τέκνα.
κἀγώ τ᾽ ἂν ἔζων καὶ σὺ τὸν λοιπὸν χρόνον,
κοὐκ ἂν μονωθεὶς σῆς δάμαρτος ἔστενες
καὶ παῖδας ὠρφάνευες. ἀλλὰ ταῦτα μὲν
θεῶν τις ἐξέπραξεν ὥσθ᾽ οὕτως ἔχειν.
εἶεν· σὺ νῦν μοι τῶνδ᾽ ἀπόμνησαι χάριν·
αἰτήσομαι γάρ σ᾽ ἀξίαν μὲν οὔποτε·
ψυχῆς γὰρ οὐδέν ἐστι τιμιώτερον·
δίκαια δ᾽, ὡς φήσεις σύ· τούσδε γὰρ φιλεῖς
οὐχ ἧσσον ἢ ᾽γὼ παῖδας, εἴπερ εὖ φρονεῖς·
τούτους ἀνάσχου δεσπότας ἐμῶν δόμων,

---

278 ἐσμὲν] ἔστιν F. Guil. Schmidtius jahrb. f. class. philol. 1864 p. 319 279 σεβόμεσθα S corr. l | 285 θεσσαλῶν a] θεσσαλὸν r 287 κοὐκ Lentingius ep. crit. p. 54 288 οὐδ᾽] γρ. ἀλλ᾽ superscr. l

289 ἔχουσα δῶρ᾽ (P δῶρον L) ἐν οἷς ἐτερπόμην S] ἔχουσα δῶρ᾽ ἐν οἷς ἐτερπόμην ἐγώ (ἐγώ nescio qua manu deletum) B ἔχουσ᾽ ἐν οἷς ἐτερπόμην ἐγώ a 291 vix sanus. ἧκον ἐκλιπεῖν βίον Hartungius 294 φιτύσειν B et a¹ in marg.] φυτεύσειν r 295 Etym. m. p. 413, 9 | ἔζων B] ἔζην (ω sup. η scr. man. 1) L ἔζην r cum Etym. m. (L in marg. ζῆμι ἔζην. ζάω ζῶ ἔζων) 298 ἐξέπραξεν S] ἔπραξεν (ἐξ sup. ἔπ add. B¹ scholia scribens) B εἰσέπραξεν a 299 νῦν μοι B] μοι νῦν a δή μοι L δ᾽ ἡμῖν P 301 Stobaeus fl. 119, 10. Orion anthol. VIII, 23 p. 55. Menander monost. 552. cf. Gregor. Naz. I p. 64 A. Heliodor. V, 25 304 ἐμῶν] τῶν ἐμῶν S ἐμῶν suspectum